*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

****************************************************************

**Δρος Χαραλάμπους Μ. Μπούσια**
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΡΣΕΝΙΟΥ

## ΤΟΥ ΣΠΗΛΑΙΩΤΟΥ

### ΣΥΝΑΣΚΗΤΟΥ ΤΟΥ ΟΣΙΟΥ ΙΩΣΗΦ ΤΟΥ ΗΣΥΧΑΣΤΟΥ

**Ἀθῆναι 2006**

**Ἡ παροῦσα Ἀκολουθία**
**ἀποτελεῖ προϊὸν εὐλαβείας τοῦ ὑμνογράφου**
**πρὸς τὸ ἐξυμνούμενον ἱερὸν πρόσωπον,**
**τὸ λαβὸν τὸ βραβεῖον τῆς ἄνω κλήσεως**
**διὰ τῶν ἀσκητικῶν του κατορθωμάτων·**
**ἄλλωστε, ἐκ τῆς ἐξυμνήσεως αὐτῆς καὶ ὁ ἴδιος ὁ ποιητὴς**
**ἐνισχύεται καὶ ἐνδυναμοῦται**
**εἰς τὸν ἀγῶνα πρὸς ἀρετῆς τελείωσιν.**
**Συνετέθη ἐξ ἰδίας τοῦ ὑμνογράφου προθέσεως,**
**σκοπεύει μόνον**
**εἰς τὸν ἐμπλουτισμὸν τῆς ἐκκλησιαστικῆς γραμματείας**
**καί, συνεπῶς, ἐπ' οὐδενὶ λόγῳ προορίζεται**
**διὰ τὴν δημοσίαν λατρείαν.**
**Δι' αὐτὴν τὴν χρῆσιν ἡ μόνη ἁρμοδία νὰ ἀποφανθῇ**
**ἐν ἀπωτέρῳ μέλλοντι**
**εἶναι ἡ Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας μας.**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΡΣΕΝΙΟΥ

## ΤΟΥ ΣΠΗΛΑΙΩΤΟΥ

### ΣΥΝΑΣΚΗΤΟΥ ΤΟΥ ΟΣΙΟΥ ΙΩΣΗΦ ΤΟΥ ΗΣΥΧΑΣΤΟΥ

**Κοιμηθέντος ἐν εἰρήνῃ τῇ Β΄/15η Σεπτεμβρίου τοῦ 1983**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

******************************************************

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Ἀρσένιε, λύχνε νεαυγὲς
θαυμαστῆς ἀσκήσεως,
ὑπακοῆς, ταπεινώσεως,
νηστείας, νήψεως,
σιωπῆς, ἀόκνου
προσευχῆς καὶ τήξεως
σαρκίου νυχθημέροις παλαίσμασιν
ἐν ὄρει Ἄθωνος,
κατεφώτισας ὁμήγυριν
εὐσεβούντων,
ποθούντων τὴν θέωσιν.

Σπηλαίου οἰκῆτορ τῆς Μικρᾶς
ἐν τῷ ὄρει Σκήτεως
Ἁγίας Ἄννης τοῦ Ἄθωνος,
σεπτὲ Ἀρσένιε,
σκάμμασιν ὁσίοις,
προσευχῇ καὶ δάκρυσιν
ὁμοῦ σὺν Ἰωσὴφ τῷ θεόφρονι
σαρκὸς κατέστειλας
τὰς κινήσεις καὶ ἀνέτεινας
σοῦ τὸ πνεῦμα
πρὸς πόλου σκηνώματα.

Τοῦ Πόντου ἐκβλάστημα σεπτόν,
πόλον εὐωδίασας
ὀδμαῖς παντέρπνοις καμάτων σου,
ἔνθα γηθόμενος
καθορᾷς τὸ κάλλος
τῆς μορφῆς τοῦ Κτίσαντος
σὺν τῷ Ἱερωνύμῳ, ἀλείπτῃ σου
βίον πρὸς κρείττονα
καὶ τῇ σῇ σεμνῇ ὁμαίμονι,
Εὐπραξίᾳ,

τρισμάκαρ Ἀρσένιε.

Ἀσκήσας ὡς ἄϋλος σοφῶς
ἐν σπηλαίοις Ἄθωνος,
σὺν Ἰωσὴφ τῷ παμμάκαρι,
κλυτὲ Ἀρσένιε,
καὶ τῷ Χαραλάμπει,
εἶτα χρηματίσαντι
Μονῆς Διονυσίου προΐστορι,
σαφῶς τὴν κλίμακα
μετ' αὐτῶν ἀνῆλθες, ὅσιε,
πρὸς τὴν ἄνω
ζωὴν τὴν ἀπάγουσαν.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τὸν γεωργήσαντα ῥοαῖς τῶν αὐτοῦ δακρύων
τὰ τοῦ Ἄθωνος ἄνικμα σπήλαια
καὶ σιωπῇ καὶ νήψει καθελόντα ἐχθροῦ τὰ φρυάγματα,
Ἀρσένιον, τὸν νεαυγῆ φωστῆρα τοῦ Ἄθωνος, μέλψωμεν
ἐν κατανύξει βοῶντες·
τῆς ἀρετῆς καὶ τῆς Θεοῦ σοφίας σύνοικε,
ὡς τῆς ἡσυχίας καὶ ἀδιαλείπτου εὐχῆς ἀκόλουθος,
ἐθεώθης κατὰ μέθεξιν καὶ δαψιλῆ χάριν εὕρηκας
πρεσβεύειν τῷ Κυρίῳ τῆς δόξης
ὑπὲρ τὸ τιμώντων τὴν πάνσεπτον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

**Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαῖρε, ἡσυχασμοῦ,
Ἀρσένιε, φαιδρότης,
τῆς σιωπῆς δοχεῖον
καὶ νήψεως ἀγγεῖον,
ἐγκρατευτὰ τοῦ Ἄθωνος.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαῖρε, τοῦ Ἰωσὴφ
συνασκητὰ τοῦ θείου,
θεόφρον σπηλαιῶτα,
καὶ τῶν αὐτοῦ καμάτων
ὁμόζηλε, Ἀρσένιε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Μέλπομέν σε λαμπρῶς
σὺν θείῳ Χαραλάμπει
πανσέμνῳ Εὐπραξίᾳ
καὶ Ἰωσὴφ ὁσίῳ,
Ἀρσένιε μακάριε.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ Θεός,
Τριὰς ὑπεραγία,
ἀείποτε βοῶμεν,
ἐγκρατευτῶν χορείαις
ἡ δείξασα τὴν θέωσιν.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἄθωνος ἀρωγέ,
Κυρία Θεοτόκε,
ἁγίαζε τοὺς πίστει
καὶ πόθῳ εἰς αἰῶνας
φαιδρῶς σε μακαρίζοντας.

Νῦν ἀπολύεις**...τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

*****************************************************************************

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Ἐξ εὐλαβοῦς ῥίζης ἄνθος
τὸ θεομύριστον,
ἀνθῆσαν ἐν σπηλαίοις
ὄρους Ἁγιωνύμου,
Ἀρσένιον, τὸν νέον ἡσυχαστήν,
εὐσχημόνως τιμήσωμεν
ὡς ἀσκητῶν θεοφόρων ὑπογραμμὸν
καὶ Ἀγγέλων ἰσοστάσιον.

Τοῦ Ἰωσὴφ ἐν ἀσκήσει
σεπτὸν συνέκδημον,
σεπτοῦ Ἱερωνύμου
μαθητὴν καὶ ἀλείπτην
τοῦ θείου Χαραλάμπους πανευλαβῶς

νῦν, Ἀρσένιον, μέλψωμεν
πρὸς τὰς ἐπάλξεις ἀμέμπτου διαγωγῆς,
ἀρετῆς ὡς ἐνδιαίτημα.

Εὑρὼν ἐν Μάνδρᾳ Προδρόμου
παρὰ τὴν ἔρημον
τοῦ Ἰορδάνου, πάτερ,
ἡσυχίας τὸν μέγαν
διδάσκαλον, Αἰγίνης τὸν θαυμαστὸν
ἀσκητήν, Ἱερώνυμον,
καθυπετάγης, Ἀρσένιε, σὺν τῇ σῇ
ἀδελφῇ αὐτῷ, θεσπέσιε.

Τῆς Θεοτόκου τὸν δοῦλον
τὸν ταπεινόφρονα,
σὺν Ἰωσὴφ λαβόντα
ὑπ' αὐτῆς ἐν χειμῶνι
εὐώδη ὄντως μῆλα πρὸς κορεσμὸν
τῆς αὐτοῦ πείνης μέλψωμεν
μετὰ πορείαν πρὸς Ἄθωνος κορυφὴν
χιονοσκεπῆ, Ἀρσένιον.

Ἐδαφιαίας ποιοῦντα
σεπτὸν Ἀρσένιον
ἀόκνως χιλιάδας
μετανοίας ἐκθύμως
ὡς νέον Ἀθωνίτην ἡσυχαστὴν
σπηλαιώτην τιμήσωμεν
καὶ τὰς αὐτοῦ ἐκζητήσωμεν πρὸς Θεὸν
ἱκεσίας οἱ φυγόπονοι.

Τῆς διοράσεως λύχνον
τὸν παμφαέστατον
καὶ νεαυγῆ φωστῆρα
διακρίσεως ὕμνοις,
Ἀρσένιον, τὸν θεῖον ἐν ἀσκηταῖς,
μελῳδήσωμεν κράζοντες·
Χαῖρε, χοροῦ τῶν ἀζύγων φωταγωγὲ
καὶ λαμπὰς τοῦ Ἄθω πάμφωτε.

**Δόξα. Ἦχος πλ. β΄.**

Τὸν ἀγλαόκαρπον φοίνικα τῆς ἡσυχίας καὶ νήψεως
καὶ τὴν εὐθυτενῆ κυπάρισσον τῆς ἀρετῆς καὶ ψυχικῆς καθαρότητος,
Ἀρσένιον τὸν ὅσιον, εὐφημήσωμεν φωναῖς αὐτῷ αἰσίαις βοῶντες·
Δὸς ἡμῖν φαγεῖν καρποὺς ἡδυγεύστους μετανοίας καὶ σωτηρίας,

τοὺς ἐσθίοντας, φεῦ, τὰ κεράτια τῆς ἁμαρτίας,
καὶ σῶσον ἐκ θανάτου εὐχαῖς σου
τὰς ψυχὰς τῶν τιμώντων τὴν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. β´ 1 - 11 )**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ’ ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ’ αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη ;Ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν ; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. α´ 1 - 10 )**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ

πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα.**

**Ἦχος α΄.**

Εὐφραίνεται ὁ εὔανδρος Πόντος τοῖς σοῖς σπαργάνοις,
ἡ τοῦ Προδρόμου παρὰ τὰ Ἰορδάνεια ῥεῖθρα Μάνδρα
τῇ ἡσυχαστικῇ σου μαθητείᾳ
καὶ τὸ Ἁγιώνυμον ὄρος τοῖς συντόνοις σου πόνοις
πρὸς ἀρετῆς κλίμακος ἄνοδον,
Ἀρσένιε, συνασκητὰ Ἰωσὴφ τοῦ μεγάλου καὶ ὁμόζηλε·
σὺν αὐτοῖς καὶ ἡμεῖς θαυμάζοντες τὴν ἰσάγγελον πολιτείαν σου
καὶ τρυγῶντες τὸ νέκταρ τῆς σῆς ὁσιότητος
Χριστὸν ἀπαύστως δοξάζομεν,
τὸν παρέχοντα ἡμῖν εὐχαῖς του τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Ἦχος β΄.**

Καρπὸς εὔχυμος ὀφθεὶς τοῦ Παρακλήτου Πνεύματος
πᾶσιν ἐξέπεμπες εὐωδίαν χαρᾶς, εἰρήνης, πραότητος,
μακροθυμίας, εἰρήνης, χρηστότητος,
ἀγαθωσύνης, πίστεως καὶ ἐγκρατείας,
θεοφόρε Ἀρσένιε·
εὐφράνας οὖν πᾶσαν τὴν Ἀθωνικὴν πολιτείαν σοῖς πόνοις
καὶ Θεῷ εὐαρεστήσας τῷ πλήθει τῶν δακρύων σου
ἐξεδήμησας τοῦ ἐνδημῆσαι διὰ παντὸς
πρὸς τὸ ἐφετὸν τῆς καρδίας σου·

Ἀγγέλοις οὖν συναγαλλόμενος
ἀξίωσον καὶ ἡμᾶς αὐτοῖς συνευφραίνεσθαι
ἐν τῇ ἀλήκτῳ μακαριότητι,
τοὺς ἑορτάζοντας πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Ἦχος γ΄.**

Ἐν σπηλαίοις καὶ ὀπαῖς τοῦ Ἄθωνος ὡς θὴρ ἐνοικήσας
σὺν Ἰωσὴφ τῷ συνασκητῇ σου ὁσίως ἐπολιτεύσω
καὶ Ἀγγέλων ὁμόζηλος γέγονας, Ἀρσένιε·
θανατώσας οὖν τὸν ὡς λέοντα ὠρυόμενον
ζητοῦντα βροτοὺς καταπιεῖν καὶ εἰς λάκκον καταῤῥίψαι ἁμαρτίας
βέλει τῶν σῶν νυχθημέρων ἀσκήσεων

πρὸς ζωὴν μετέστην τὴν ἀγήρω
Χριστῷ πρεσβεύων ὑπὲρ τῶν τιμώντων σε.

**Ἦχος δ΄.**

Ὁ λόγος σου μεστὸς ὁσιότητος
ὡς καρπὸς ἡσυχαστικῆς ἐμπειρίας, Ἀρσένιε,
πάντας ἀνέπαυε τοὺς προσιόντας σοι,
ἀφανὲς τῆς ἀρετῆς ἐργάτα καὶ τῆς σοφίας σύνοικε·
ὅθεν καὶ ποδηγὸς ἀπλανέστατος γέγονας πιστῶν πρὸς σωτηρίαν
καὶ μοναστῶν πρὸς ζωὴν τὴν ἰσάγγελον,
ἀδιαλείπτως εὐχόμενε ὅσιε.

**Δόξα. Ἦχος ὁ αὐτός.**

Ὁ ὑπομείνας εἰς τέλος σωθήσεται, ἔλεγες, Ἀρσένιε,
διδάσκων ὑποτακτικῶν σου τὸ πλῆθος ἐν Ἄθωνι·
σὺ γὰρ δι' ὑπακοῆς καὶ ὑπομονῆς λαβὼν εὐλογίαν τοῦ σοῦ Γέροντος
ὡς ὑψιπέτης ἀετὸς πρὸς τοὺς αἰθέρας τῆς ἀρετῆς ἀνῆλθες·
καὶ νῦν Χριστῷ συνὼν ἐν πόλει τῇ ἄνω
ἡμᾶς ἑλκύεις εὐχαῖς σου πρὸς τὴν ἀγήρω μακαριότητα,
τοὺς τιμῶντας τὴν πάνσεπτον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, ὑπακοῆς ἐραστής,
πνευματικοῦ τῇ εὐλογίᾳ, Ἀρσένιε,
ὁ πάντα ποιῶν τὰ ἔργα
πρὸς κτῆσιν τῆς ἀρετῆς
ἐν μονήρει βίῳ

τῷ ὁσίῳ σου·
εὐχῆς ἐνδιαίτημα
ἀσιγήτου, περίβλεπτον
τῆς ἡσυχίας
καὶ τῆς νήψεως μέλαθρον,
θεία ἔπαλξις
νυχθημέρου ἀσκήσεως·
Ἄθωνος νέον σέμνωμα,
πατέρων ὁμόζηλε
τῶν πάλαι καὶ τῶν σπηλαίων
οἰκῆτορ θεοφορούμενε,
Χριστὸν ἐκδυσώπει
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι
τὸ μέγα ἔλεος.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Χ**αίροις, παρὰ Θεοῦ ὁ λαβὼν
τοῦ ἀγαθοῦ δωρεοδότου, Ἀρσένιε,
τὸ χάρισμα τῶν δακρύων
ὡς τῶν καμάτων τῶν σῶν
καὶ τῆς προσευχῆς σου
ἀντιμίσθιον,
ἰσάγγελε ἄνθρωπε,
τοῦ Προδρόμου ὁμόζηλε,
ὁ ἐν τῇ Μάνδρᾳ
τῇ αὐτοῦ ἐν τῷ Ἄθωνι
τὸν ἐπίγειον
τελευτήσας ἀγῶνά σου·
πρέσβευε οὖν τῷ Κτίσαντι
ὑπὲρ τῶν τιμώντων σε
σὺν Βαπτιστῇ Ἰωάννῃ,
τῷ τῆς Μονῆς σου προϊστορι,
σεπτῷ Χαραλάμπει
καὶ τῷ Ἰωσήφ, σπηλαίων
σεπτῷ συνοίκῳ σου.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Χ**αίροις, ὀρθὸς σὺν τῷ Ἰωσὴφ
ὁ καθ' ἑκάστην ἀγρυπνῶν νύκτα, ὅσιε,
καὶ χέων δακρύων ῥεῖθρα
ὑπὲρ τοῦ κόσμου παντὸς
καὶ ἀμπλακημάτων
σῶν, Ἀρσένιε·
ἀσκήσεως πρότυπον,

ἡσυχίας κυάθιον,
ψυχῆς δοχεῖον
διαυγὲς καθαρότητος
καὶ κρηπίδωμα
ἀδιάσειστον νήψεως,
δεῖξον ἡμῖν πρεσβείαις σου
ὁδὸν τὴν σωτήριον
τῆς προσευχῆς, τῆς ἀγάπης,
τῆς ἡσυχίας, τῆς νήψεως
καὶ τῆς προθυμίας
τοῦ Κυρίου ἐνταλμάτων
ἐπιτελέσεως.

**Δόξα. Ἦχος πλ. δ´.**

Τὸν κοπιῶντα καθ’ ἑκάστην καὶ σκληραγωγούμενον
σκοπεύοντα εἰς τὴν κτῆσιν ταπεινοῦ φρονήματος,
Ἀρσένιον, τὸν ἄδολον καὶ ἄκακον ἀσκητὴν τοῦ Ἄθωνος,
ἀξιοχρέως οἱ πιστοὶ μακαρίσωμεν·
αὐτοῦ οὖν τοὺς κόπους μιμούμενοι
καὶ τὰ παλαίσματα ζηλοῦντες
τὰς πρὸς Κύριον ἀδιαλείπτους αὐτοῦ εὐχὰς ἐκζητήσωμεν
πρὸς καθαρισμὸν τῶν πταισμάτων καὶ βίον κρείττονα.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

**Ἀπολυτίκιον.**
**Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.**

Ἡσυχίαν καὶ νῆψιν φιλῶν ἐνῴκησας
ἐν δυσπροσίτοις σπηλαίοις
καὶ κοινοβίοις σεπτοῖς,
Ἰωσὴφ συνασκητὰ
τοῦ οὐρανόφρονος,
μάκαρ Ἀρσένιε, ὀδμαῖς
ὁ εὐφράνας ἀγωγῆς
ἀμέμπτου σου πᾶσαν κτίσιν,
ἄρτι τὴν σὲ ἀνυμνοῦσαν
καὶ σαῖς θερμαῖς λιταῖς προσφεύγουσαν.

**Ἕτερον. Ὅμοιον.**

Ἡσυχίαν καὶ νῆψιν φιλῶν ἐνῴκησας
ἐν δυσπροσίτοις σπηλαίοις
τοῦ Ἄθω καὶ ταῖς ὀπαῖς,
μύστα ἔνθεε καὶ τέκνον γνησιώτατον
τῆς Θεοτόκε, Ἰωσὴφ

θαυμαστοῦ συνασκητά,
Ἀρσένιε θεοφόρε,
ὁ ἱλούμενος Κτίστην
ἡμῖν Ἀγγέλων ὡς συνόμιλος.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**
*******************************************

# Ε Ν   Τ Ω   Ο Ρ Θ Ρ Ω

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Κανὼν ὑπακοῆς,
ἀγρυπνίας πυξίον,
ταμεῖον ἀρετῆς,
προσευχῆς τῆς ἀόκνου
ταμεῖον καὶ νήψεως
ἱερὸν ἐνδιαίτημα,
πάτερ ὅσιε,
εἴληφας χάριν δακρύων
καὶ ἰσάγγελος
ὤφθης ἐν χρόνοις ἐσχάτοις,
τρισμάκαρ Ἀρσένιε.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Λειμῶνος σου τερπνοῦ
τοῦ ἐν Ὄρει Ἁγίῳ
χορείας μοναστῶν
καὶ μιγάδων ὑπάρχεις
ἀρίστη ἰθύντειρα
πρὸς μονὰς ἀφθαρτότητος,
ἀειπάρθενε,
Θεογεννήτρια, κόσμου
ἀγαλλίαμα
καὶ προστασία ἑτοίμη
καὶ σκέπη καὶ στήριγμα.

**Μετὰ τὴν β΄. Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Τὸ μέλι ἐτρύγησας

ἀσκητικῶν ἀρετῶν
ὡς φίλεργος μέλισσα
ἐν ταῖς ἐρήμοις ὀπαῖς
τοῦ ὄρους τοῦ Ἄθωνος,
κλέϊσμα μονοτρόπων
ἡσυχίαν φιλούντων,
ὁ δι᾽ ὑπακοῆς σου
καὶ εὐχῆς ἀσιγήτου
ἡδύνας φιλοσίων ψυχάς,
πάτερ Ἀρσένιε.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Πανύμνητε Δέσποινα,
τοῦ Ἀρσενίου λιταῖς,
τοῦ καθαγιάσαντος
ἀσκητικῇ ἀγωγῇ
τὸ ὄρος τοῦ Ἄθωνος,
οὗπερ προστάτις πέλεις,
ταχινὴ ἀντιλήπτωρ,
σκέπη, παραμυθία
καὶ ἐνίσχυσις θεία,
ἁγίασον ἡμῶν τὴν ζωὴν
μεγαλυνόντων σε.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Διδακτικώτατον, ἁπλοῦν, νηφάλιον,
σεμνόν, ὑπάκουον, σκληραγωγούμενον,
θερμῶς εὐχόμενον ἀεί, νηστεύοντα, ἀγρυπνοῦντα
καὶ Θεὸν φοβούμενον ἀσκητὴν εὐφημήσωμεν,
ἑαυτὸν ὡς ἔσχατον τῶν βροτῶν λογιζόμενον
ψυχῆς ἐν κατανύξει βοῶντες· Χαῖρε, Ἀρσένιε παμμάκαρ.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,

ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον· Ὁσιακόν (Λουκ. στ´ 17 - 23).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ Παρασκευῇ τῆς Β´ Ἑβδομάδος.**
**Ὁ Ν´ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β´.**

Σκληραγωγούμενος παννύχοις στάσεσι,
ποιῶν ἐδαφιαίας μετανοίας,
ἀσιτῶν, ἀγρυπνῶν καὶ νήφων
ἐθεώθης κατὰ μέθεξιν, Ἀρσένιε ὅσιε·
σὺ γὰρ ἐμάκρυνας φυγαδεύων
ἵνα μόνος μόνον σὺν Ἰωσὴφ τῷ ὁσίῳ συνασκητῇ σου
ὁμιλῇς τῷ Κυρίῳ ἐν τοῖς σπηλαίοις τοῦ Ἄθωνος·
ἐπιτυχὼν οὖν τοῦ ἐφετοῦ τῆς καρδίας σου
Χριστῷ νῦν παρίστασαι,
Ὧ καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ τῶν τιμώντων σε.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·**

**" Ἀρσενίου, Ἀθωνος ἡσυχαστοῦ, ἐγκώμιον. Χ. "**

**Ὠδὴ α´. Ἦχος δ´. Ἀνοίξω τὸ στόμα μου.**

Ἀρσένιον ὅσιον,
ἡσυχαστὴν νέον Ἄθωνος,
σπηλαίων οἰκήτορα
καὶ θεαυγοῦς Ἰωσὴφ
τὸν ὁμόζηλον
συνασκητὴν ἐκθύμως
πιστοὶ μακαρίσωμεν
ὕμνοις καὶ ᾄσμασι.

Ῥωννύμενος ἄνωθεν
ἐκ τῆς νεότητος χρόνων σου,
πατρίδα κατέλιπες,
οἰκείους καὶ συγγενεῖς
καὶ μετῴκησας
εἰς τοὺς Ἁγίους Τόπους
ποθῶν βίον κρείττονα,
μάκαρ Ἀρσένιε.

Σωφρόνως, Ἀρσένιε,
ἐν Πόντῳ πολιτευσάμενος
ὡς ἄϋλος ἄνθρωπος
τὰς σωστικὰς ἐντολὰς
τοῦ Παντάνακτος
ἐτήρησας ἐκ βρέφους
καὶ πάντας ἐξέπληξας
βίῳ ἀμέμπτῳ σου.

**Θεοτοκίον.**

Εὐλόγει ἀείποτε,
θεοχαρίτωτε Δέσποινα,
τοὺς σὲ μακαρίζοντας
καὶ ἔργα πάντων ἡμῶν
καθαγίαζε
τῷ ῥαντισμῷ εὐχῶν σου
πρὸς Ὃν ξένως ἔτεκες
Κτίστην τὸν ἅγιον.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Νικήσας, Ἀρσένιε, τὸν κόσμον
συντόνοις καμάτοις καὶ εὐχῇ
ἀδιαλείπτῳ ἔλαβες
παρὰ Χριστοῦ τὸν στέφανον
τῆς σὺν Αὐτῷ ἐν δώμασι
τοῦ πόλου ἀγαλλιάσεως.

Ἱδρώτων σου ὄμβροις παιδιόθεν
καὶ ῥείθροις δακρύων σου πολλοῖς
ψυχῆς σου ἀκηλίδωτον
ἐτήρησας τὸ ἔνδυμα,
ἡσυχαστὰ Ἀρσένιε,
νέον τοῦ Ἄθωνος σέμνωμα.

Ὁσίων ὁδοῖς ἀκολουθῆσαι
ποθῶν πόλιν Ἱερουσαλὴμ
κατέλαβες, Ἀρσένιε,
καὶ ὄρος Σαραντάριον,
κουρᾷ σου σεμνυνόμενον,
ἡσυχαστὰ πνευματέμφορε.

**Θεοτοκίον.**

Ὑπέραγνε Κεχαριτωμένη,

λιταῖς Ἀρσενίου τοῦ σεπτοῦ,
ἀσκήσαντος ἐν κλήρῳ σου
ἁγίῳ ὄρους Ἄθωνος,
διάσῳζε τοὺς δούλους σου
ἐκ τῶν βελῶν τοῦ ἀλάστορος.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Τὸν ὡς ἔφηβον βαθεῖ ἐν γήρει
ἐργαζόμενον καὶ ἀγρυπνοῦντα,
ἀσιτοῦντα, αὐστηρῶς κοπιάζοντα
καὶ προεστῶτος ὑπείκοντα φθέγμασι,
θεοειδῆ σπηλαιώτην, Ἀρσένιον,
εὐφημήσωμεν ὡς χάριτος θείας ἔμπλεων
καὶ τύπον μονοτρόπων ὄρους Ἄθωνος.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Πορταΐτισσα, Γλυκοφιλοῦσα,
Βηματάρισσα, Ἐλαιοβρῦτις,
Τριχεροῦσα, Ἐσφαγμένη, Γερόντισσα,
Παραμυθία, σεμνὴ Κουκουζέλισσα,
Γοργοϋπήκοε καὶ Ὁδηγήτρια,
Ὄρος Ἅγιον συντήρει ἀεὶ ἀλώβητον
ἐχθίστου ἐπηρείας, Μητροπάρθενε.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Ἀσκουμένων ὡραιότης,
θεοφόρε Ἀρσένιε,
ἐν Μονῇ Προδρόμου
χάριτι τῇ θείᾳ ὑπήντησας
Ἱερωνύμῳ, Αἰγίνης τῷ κοσμήτορι,
οὗ τοῖς βήμασιν
ἡσυχασμοῦ ἠκολούθησας.

Θεοφόρος Εὐπραξία,
ἡ σεμνή σου αὐτάδελφος,
Μάνδρας Παναχράντου
μοναχὴ του Πόντου, Ἀρσένιε,
σοὶ ὑπαντῆσαι ἐλθοῦσα εἰς τὴν ἔρημον,
Ἱερώνυμον,
μυσταγωγόν σου ἐγνώρισεν.

Ὡς τοῦ Πνεύματος κινύραν
τοῦ ἁγίου, Ἀρσένιε,

σὲ ὑμνολογοῦντες
καὶ ἡσυχαστῶν ἀκροθίνιον
σὴν ἀεισέβαστον μνήμην ἑορτάζομεν
καὶ ἀγῶνάς σου
σεπτοὺς ποθοῦμεν μιμήσασθαι.

**Θεοτοκίον.**

Νῦν ἐκθύμως σε τιμῶντες
ὡς χαρᾶς κόσμου πρόξενον,
Κεχαριτωμένη,
ἐκ ψυχῆς μυχίων βοῶμέν σοι·
ἐκδυσωποῦσα μὴ παύσῃ, Μητροπάρθενε,
τῷ Παντάνακτι
Χριστῷ ὑπὲρ ὑμνηπόλων σου.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ὁσίων, Ἀρσένιε,
τῶν νέων ἐγκαλλώπισμα,
σὺν τῷ Ἰωσὴφ τῷ σπηλαιώτῃ
συντόνοις πόνοις,
ἀδιαλείπτοις εὐχαῖς
καὶ νήψει κατῄσχυνας ἐχθρὸν
καὶ τῷ πανοικτίρμονι
Ἰησοῦ εὐηρέστησας.

Σαρκός σου σκιρτήματα
ἐμάρανας, Ἀρσένιε,
ἐκκοπῇ θελήματός σου, πάτερ,
σκληραγωγίᾳ,
νηστείᾳ καὶ προσευχῇ
καὶ νοῦν σου ἀνέτεινας σαφῶς
πρὸς τὰ διαμένοντα
εἰς αἰῶνα τὸν ἅπαντα.

Ἡγίασας σπήλαιον
Ἁγίας Ἄννης Σκήτεως
τῆς Μικρᾶς δακρύων σου ῥανίσιν,
ὁσίων νέων
τῶν νηπτικῶν κορυφή,
Ἀρσένιε, καὶ τὸν πτερνιστὴν
τῶν βροτῶν ἀπέπνιξας
τῶν ἱδρώτων σου ῥεύμασι.

**Θεοτοκίον.**

Σὲ ὕμνοις γεραίροντες
τερπνοῖς, Θεογεννήτρια,
κράζομεν· Τοῖς στένουσι βοήθει,
ἐλέει πάντας
καὶ σκέπε τοὺς ἀκλινῶς
ἐν πάσαις τοῦ βίου συμφοραῖς
σπεύδοντας σῇ χάριτι,
εὐσυμπάθητε Δέσποινα.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ὑμνοῦντες πόθῳ, Ἀρσένιε,
σὲ πάντες ὡς εὐχῆς ἐργαστήριον,
πρᾶον, ἀόργητον,
διδακτικόν, ταπεινόφρονα
καὶ νήφοντα σὴν μνήμην
ἀξίως σέβομεν.

Χαρίτων θείων κειμήλιον,
Ἀρσένιε, βαλβὶς προοράσεως
σοφῶς κατηύθυνας
ἐνασκουμένων τὸν σύλλογον
τοῦ Ἄθωνος πρὸς δόμους
ἀϊδιότητος.

Ἀμέμπτως δόλιχον ἤνυσας,
Ἀρσένιε, τοῦ βίου ἐν Ἄθωνι
καὶ ἐξεμέτρησας
τὸ ζῆν ἐσχάτοις ἐν ἔτεσιν
ἐν τοῦ Διονυσίου
Μονῇ, μακάριε.

**Θεοτοκίον.**

Σαρκὶ τεκοῦσα τὸν ἄσαρκον
Υἱὸν Θεοῦ Ὑψίστου, Μητρόθεε,
γένος ἐθέωσας
βροτῶν λαμπρῶς μεγαλῦνόν σε
εὐτάκτοις μελῳδίαις
καὶ ὕμνοις πάντοτε.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Ἡσυχαστὴν ἀδιαλείπτως προσευχόμενον,
πραΰν, ἀόργητον, ὑπάκουον, φιλάρετον,
ἀκτησίαν τὸν φιλοῦντα καὶ σιωπῶντα,

Ἰωσὴφ τοῦ Σπηλαιώτου τὸν ὁμόζηλον
καὶ Ἀγγέλων ἰσοστάσιον τιμήσωμεν
πόθῳ κράζοντες· Χαίροις, μάκαρ Ἀρσένιε.

**Ὁ Οἶκος.**

Ἄθωνος τῶν σπηλαίων
θεοφόρε οἰκῆτορ,
Ἀρσένιε, Ἀγγέλοις συγχαίρεις
ὡς ἀῤῥεύστων θερμὸς ζηλωτής,
ἡσυχίας μύστης, σιωπῆς πρύτανις
καὶ ὑπερόπτης, ὅσιε,
ῥεόντων· ὅθεν σοι βοῶμεν·

Χαῖρε, τοῦ Πόντου βλαστὸς ὁ θεῖος·
χαῖρε, Κυρίου ὁ ὄντως φίλος.

Χαῖρε, τῶν σπηλαίων τοῦ Ἄθωνος ἔνοικος·
χαῖρε, τῶν ἁγίων Ἀγγέλων συνόμιλος.

Χαῖρε, πόνων ὁ ἐφάμιλλος Ἰωσὴφ ἡσυχαστοῦ·
χαῖρε, ἄκμων ταπεινώσεως ὡς ὁμόζηλος Χριστοῦ.

Χαῖρε, Ἱερωνύμου μαθητὴς τοῦ φωσφόρου·
χαῖρε, τοῦ μισοκάλου συντριμμὸς τοῦ ἐχθίστου.

Χαῖρε, εὐχῆς καὶ νήψεως οἴκημα·
χαῖρε, πηγῆς τῆς χάριτος ἄντλημα.

Χαῖρε, λαμπτὴρ νεαυγὴς ἡσυχίας·
χαῖρε, σβεστὴρ τῆς τοῦ πλάνου κακίας·

Χαίροις, μάκαρ Ἀρσένιε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς Β΄/ΚΕ΄ Σεπτεμβρίου. Εἶτα λέγομεν.**

Τῇ β΄/κε΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν, Ἀρσενίου τοῦ σπηλαιώτου, συνασκητοῦ τοῦ ὁσίου Ἰωσὴφ τοῦ ἡσυχαστοῦ.

**Στίχοι.**

**Ὑπακοῇ, συνέσει, εὐχῇ καὶ νήψει,**
**Ἀρσένιε, ὕφηνας σὴν σωτηρίαν.**

**Συναξάριον.**

Ὁ ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Ἀρσένιος, ὁ σπηλαιώτης ἡσυχαστὴς τοῦ Ἄθωνος, κατὰ κόσμον Ἀναστάσιος Γαλανόπουλος, γόνος τοῦ εὐάνδρου Πόντου, ἐκ ῥίζης προῆλθεν εὐλαβοῦς καὶ

τιμίας, τοῦ Δημητρίου καὶ τῆς Σωτηρίας. Ἐγεννήθη ἐν ἔτει σωτηρίῳ 1886. Παιδιόθεν τὴν μοναχικὴν πολιτείαν ἀγαπήσας κατέλιπε τὴν αὐτοῦ πατρίδα καὶ ἐλθὼν εἰς Ἱεροσόλυμα ἐκάρη μοναχὸς ἐν τῇ ἱερᾷ Μονῇ τοῦ Σαρανταρίου ὄρους λαβὼν τὴν κλῆσιν Ἀνατόλιος. Ὑπαντήσας ἐν τῇ Μονῇ του Προδρόμου παρὰ τὰ Ἰορδάνεια ῥεῖθρα τῷ μετέπειτα σοφῷ ἡσυχαστῇ τῆς Αἰγίνης Ἱερωνύμῳ καὶ μαθητεύσας παρὰ τοὺς αὐτοῦ πόδας ἐμυήθη παρ' αὐτοῦ ἐν τοῖς ἀόκνοις ἀσκητικοῖς παλαίσμασι πρὸς ἀρετῆς τελείωσιν. Αὐτῷ συνέστησεν ἅμα καὶ τὴν αὐτοῦ ὁμαίμονα, ἤδη τότε μονάζουσαν ἐν τῇ Μονῇ τῆς Παναχράντου τοῦ Πόντου, τὴν εἶτα αὐτῷ ὑπηρετήσασαν ἐν Αἰγίνῃ, ὀλβίαν Εὐπραξίαν. Ἐλθὼν εἰς Ἄθωνα ἔλαβε τὸ μέγα ἀγγελικὸν σχῆμα ἐν τῷ παρὰ τὰς Καρυὰς Σιμωνοπετρίτικον κελλίον τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου καὶ τὴν κλῆσιν Ἀρσένιος. Γνωρίσας ἐν τῇ κορυφῇ τοῦ Ἄθωνος τὸν εἶτα μέγαν ἡσυχαστὴν Ἰωσὴφ συνεδέθη μετ' αὐτοῦ δι' ἰσοβίου φιλίας καὶ ἁμίλλης πνευματικῆς δι' ἀσκητικῶν σκληρῶν παλαισμάτων. Ἀνελθὼν μετ' αὐτοῦ τὴν κλίμακα τῶν ἀρετῶν καὶ αὐτῶ ὑποτασσσόμενος θεαρέστως ἤσκησεν ἐν Ἁγίῳ Βασιλείῳ, ἐν σπηλαίοις τῆς σκήτεως τῆς Μικρᾶς Ἁγίας Ἄννης καὶ ἐν Νέᾳ Σκήτῃ ἑαυτὸν ὑποβαλὼν εἰς ἄκραν σκληραγωγίαν, ἀσιτίαν, παννύχους στάσεις, ἀδιάλειπτον προσευχήν, σιωπὴν καὶ νῆψιν. Καταπνίξας τοῖς ῥείθροις τῶν αὐτοῦ ἱδρώτων τὸν πτερνιστὴν τὸν ἀρχαῖον Θεῷ εὐηρέστησε καὶ δοχεῖον γέγονε τῶν δωρεῶν τοῦ Παρακλήτου Πνεύματος. Μετὰ τὴν τοῦ συνασκητοῦ αὐτοῦ, ὁσίου Ἰωσήφ, κοίμησιν ἠκολούθησε τῷ αὐτοῦ ἀνεψιῷ καὶ συνασκητῇ, Χαραλάμπει τῷ νηπτικῷ, ἐν τῷ κελίῳ τοῦ «Μπουραζέρι» παρὰ τὰς Καρυὰς καὶ τὴν Μονὴν τοῦ Διονυσίου, ἧς ὁ προειρημμένος Χαραλάμπης διετέλεσε πνευματικὸς πατὴρ καὶ ἅγιος καθηγούμενος. Ἐκοιμήθη ὁσίως ἐν αὐτῇ καταλιπὼν φήμην μεγάλου ἡσυχαστοῦ, βιαστοῦ ἀσκητοῦ καὶ θεοφόρου πατρὸς τῇ 2ᾳ/15η Σεπτεμβρίου τοῦ σωτηρίου ἔτους 1983.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Τὴν ἰσάγγελον
διαγωγήν σου μέλποντες
φαιδρῶς, Ἀρσένιε,
συνασκητὰ Ἰωσήφ,
τοῦ νέου κοσμήτορος
τοῦ ὄρους Ἄθωνος,
μεγαλύνομεν
τοὺς νυχθημέρους πόνους σου
πρὸς σαρκὸς σκληραγωγίαν.

Ὁσιότητος,
Ἀρσένιε, ἀλάβαστρον
κατευωδίασας
ὀδμαῖς σῆς ὑπακοῆς,
νηστείας, συνέσεως,
εὐχῆς καὶ νήψεως
ὄρος Ἄθωνος
καὶ μονοτρόπων τάγματα
τὴν τελείωσιν ποθοῦντα.

Ὕμνοις πρέπουσι
τιμῶμεν σῆς ἀσκήσεως
τὰ κατορθώματα
ἐν ταῖς τοῦ Ἄθω ὀπαῖς,
Ἀρσένιε πάνσοφε,
φωστὴρ νεόφωτε
ταπεινώσεως,
ὑπακοῆς καὶ νήψεως
καὶ εὐχῆς ἀδιαλείπτου.

**Θεοτοκίον.**

Εὐσυμπάθητε,
Θεογεννῆτορ ἄχραντε,
ἐξ ὕψους δόξης σου
σκέπε καὶ φρούρει ἀεὶ
τοὺς σοὶ καταφεύγοντας
ἐν πάσαις θλίψεσι
καὶ τὸ πλῆθός σου
τῶν θαυμασίων μέλποντας
καθ' ἑκάστην εὐσχημόνως.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Γνῶσιν τῶν παγίδων τοῦ Βελίαρ
κατέχων αὐτοῦ συνέτριψας τὰ ἔνεδρα
ὅπλοις ἀσιγήτου σου
προσευχῆς, Ἀρσένιε,
ὑπακοῆς, σαρκίου σου
σκληραγωγήσεως,
νηστείας, αὐστηρᾶς ἀγρυπνίας
καὶ χαμαικοιτίας
ἐν Ἄθωνος σπηλαίοις.

Κύμινον εὐῶδες ἡσυχίας
καὶ λείριον ταπεινώσεως ἡδύπνευστον,
ἀσκητὰ Ἀρσένιε,
πάτερ ἱερώτατε.
τῇ εὐωδίᾳ πόνων σου
ἀζύγων ηὔφρανας
χορείας τῶν ἐν Ὄρει Ἁγίῳ

καὶ τῶν φιλοσίων
χοροὺς ὀδμαῖς σῶν ἄθλων.

Ὡς μυροδοχεῖον εὐσεβείας
τιμῶντές σε καὶ ἀλάβαστρον χρηστότητος
μέλπομεν τὰ σκάμματα
σῆς στεῤῥᾶς ἀσκήσεως
καὶ ἐκ ψυχῆς βοῶμέν σοι·
Φωνῆς, Ἀρσένιε,
ἐπάκουσον τῶν σοὶ δεομένων
καὶ παράσχου πᾶσι
τὰ πρόσφορα ἐν βίῳ.

**Θεοτοκίον.**

Μῆτερ τοῦ Ὑψίστου Θεοῦ Λόγου,
ἐπίσκεψαι τοὺς ἐν κλίναις πόνου στένοντας,
ἀσθενοῦντας ἴασαι,
τοὺς ἀλγοῦντας κούφισον
καὶ ἅπαντας θεράπευσον
τοὺς σοὶ προστρέχοντας
ἐκ νόσων κατωδύνων φαρμάκῳ
θείας χάριτός σου,
ἁγνὴ Θεοκυῆτορ.

**ᾨδὴ θ΄. Ἅπας γηγενής.**

Ἴσχυσας ἐχθρὸν
νικῆσαι τὸν δόλιον
καὶ πολυμήχανον,
ἀσκητὰ Ἀρσένιε,
ὁσίοις πόνοις,
γονάτων κλίσεσι,
χαμαικοιτίᾳ, δάκρυσιν,
εὐχαῖς, στερήσεσι
καὶ παννύχοις,
θεοφόρε, στάσεσι,
σπηλαιῶτα, ἰσάγγελε ἄνθρωπε.

Ὁ τοῦ Ἰωσὴφ
ὑπείκων τοῖς φθέγμασιν
ὡς ταπεινότατος
ἀσκητής, Ἀρσένιε,
καὶ τῆς ἀγάπης
πυρὶ φλεγόμενος
Θεοῦ τοῦ Παντοκράτορος,
προσδεχομένου σου
ὥσπερ φλόγα
τοῦ πυρὸς δεήσεις σου
ἠναλώθης ὡς πῦρ ἐνασκήσει σου.

Νῦν, ἡσυχαστά,
τὴν μνήμην σου σέβοντες,
λαμπρὲ Ἀρσένιε,
ἀνυμνοῦμεν πόνους σου,
οὓς χαίρων ἔτλης
ἐν ὄρει Ἄθωνος
δι' ἀρετῆς τελείωσιν,
σοφέ, καὶ θέωσιν
καὶ αἰσίαις
ἐν φωναῖς κραυγάζομεν·
Χαῖρε, Ὄρους Ἁγίου θησαύρισμα.

**Θεοτοκίον.**

Χάριτος Θεοῦ,
πανάμωμε, πέλαγος
τὸ ἀχανέστατον,
Παναγία Δέσποινα,
χαρίτων πλῆσον
τοὺς σοὶ προσφεύγοντας
καὶ μελῳδοῦντας πάντοτε
τὰ σὰ θαυμάσια,
Θεοτόκε,
Μῆτερ χαριτόβρυτε
τοῦ Δεσπότου ἁπάσης τῆς κτίσεως.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Θεοειδὲς Ἀρσένιε,
Ἁγίου Ὄρους σέμνωμα,
τῆς ἡσυχίας κοσμῆτορ
καὶ σιωπῆς θεῖον εὖχος,
ὑπακοῆς ὡς σκήνωμα

καὶ ἀσιτίας τέμενος
σὲ πάντες μεγαλύνοντες
θεοπειθεῖς ἱκεσίας
τὰς σὰς αἰτούμεθα, μάκαρ.

**Θεοτοκίον.**

Ὁδήγει πρὸς σκηνώματα
τῶν οὐρανῶν σοὺς πρόσφυγας,
Θεογεννῆτορ Παρθένε,
ἀπλανεστάτη πρὸς πόλον
τῶν εὐσεβῶν ἰθύντειρα,
καὶ πάντων καθαγίαζε
τὰ ἔργα καὶ τὴν βίωσιν
τῶν εἰς αἰῶνας αἰώνων
μακαριζόντων σε πίστει.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος!**

Πάτερ, ἱερὲ Ἀρσένιε,
ἡσυχαστῶν λαμπηδών,
ταπεινώσει ἐκόσμησας
ἐπὶ γῆς τὸν βίον σου
ἐν ἐσχάτοις τοῖς ἔτεσι·
Ποντίων εὖχος
καὶ νέον σέμνωμα,
ἐν ὄρει Ἄθω
σεμνῶς ἐβίωσας
καὶ ἠκολούθησας
Ἰωσὴφ τοῖς βήμασι, συνασκητοῦ
σοῦ σεπτοῦ, λευκάνθεμον
εὐῶδες νήψεως.

Πάτερ, θαυμαστὲ Ἀρσένιε,
σπηλαίων ὁ οἰκιστής,
Ἰωσὴφ ὁ ἐφάμιλλος
πόνων τῆς ἀσκήσεως
καὶ πατέρων τοῦ Ἄθωνος
τὸ νέον γέρας,
σκληραγωγούμενος,
ὑπείκων λόγοις
τοῦ προεστῶτός σοι,
νήφων, εὐχόμενος,
ἀσιτῶν, θειότατε, καὶ ἀγρυπνῶν

χάριν θείου Πνεύματος
ἀφθόνως εἴληφας.

Πάτερ, θεαυγὲς Ἀρσένιε,
ἡσυχαστῶν κορυφή,
ὁ ἐκ Πόντου ὁρμώμενος,
θεῖον Ἱερώνυμον
ἔσχες τρόπων διδάσκαλον
ἀσκητικῶν σου,
ᾧπερ συνέστησας
τὴν Εὐπραξίαν,
τὴν σὴν ὁμαίμονα,
διακονήσασαν
ἄχρι τέλους, ὅσιε αὐτῷ καλῶς,
τῶν σπηλαίων ἔνοικε
θεοφορούμενε.

Πάτερ, ταπεινὲ Ἀρσένιε,
ὁ ἡσυχίαν φιλῶν
καὶ ποθῶν τῷ Παντάνακτι
ὁμιλεῖν ἀείποτε
μόνος, βίον ἐτέλεσας
Διονυσίου
ἐν Μάνδρᾳ Ἄθωνος,
ἀνεψιός σου
ἧσπερ προΐστατο,
ὁ παναοίδιμος
Χαραλάμπης, ὅσιε, συνασκητὴς
ἅμα σοῦ λαμπρότατος,
θεοφορούμενε.

**Δόξα. Ἦχος πλ. α΄.**

Σήμερον ἑόρτιον οἱ πιστοὶ τελοῦμεν πανήγυριν
τοῦ νέου ἐν ἡσυχασταῖς τοῦ Ἄθωνος φωστῆρος,
Ἀρσενίου, τοῦ ἁρπάσαντος ὡς βιαστοῦ τὴν τῶν οὐρανῶν Βασιλείαν·
οὗτος γὰρ ὑπερόπτης ὀφθεὶς πάντων τῶν προσύλων
καὶ ἑαυτὸν κατατήξας τῇ τῶν ἀρετῶν τελειώσει
σὺν τοῖς αὐτοῦ συνασκηταῖς Ἰωσὴφ καὶ Χαραλάμπει
βραβεῖον εἴληφε τῆς ἀφθίτου μακαριότητος.
καὶ νῦν Χριστῷ συναγαλλόμενος,
τῷ ἀκροτάτῳ τῶν ἐφετῶν τῆς αὐτοῦ καρδίας,
ἀδιαλείπτως Αὐτῷ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ ’Απόλυσις.**

********************************************

# ΕΝ ΤΗ͂ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος· Πρὸς Γαλάτας (Κεφ. ε΄ 22 - στ΄ 2 ).**
Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστι, χαρά,...
**Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ΄ Ἑβδομάδος.**

**Εὐαγγέλιον· Κατὰ Λουκᾶν (Κεφ. ιγ΄ 17 - 23 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ Πέμπτῃ τῆς Δ΄ Ἑβδομάδος.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάριον.**

Χαίροις, ἡσυχίας, ὑπακοῆς,
νήψεως, δακρύων,
σπηλαιῶτα, καὶ προσευχῆς
ἀενάου ῥόδον,
Ἀρσένιε, μυρίπνουν,
τὸ ἄρτι καθηδῦναν
ὄρος τοῦ Ἄθωνος.

**Τετράστιχα.**

**Ἐραστὰ ὑπακοῆς καὶ ἡσυχίας,**
**Ἀρσένιε, ἄρτι ἠγλάϊσας Ἄθω.**

**Ἡσυχάζειν καὶ νήφειν ἀξίωσόν με,**
**Ἀρσένιε μάκαρ, βοᾷ Χαραλάμπης.**

**Ἐφραὶμ Καθηγούμενον ὁμοζηλόν σου,**
**Ἀρσένιε, Ἰωσὴφ σύνοικε, δεῖξον.**

**ΤΕΛΟΣ ΚΑΙ ΔΟΞΑ ΤΩ͂ ΜΟΝΩ͂ ΑΛΗΘΙΝΩ͂ ΘΕΩ͂ ΗΜΩΝ**

Ἀριθμ. Καταλ. Α 360/ 30-7-06

## Ὁ Ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν
## Ἀρσένιος ὁ Σπηλαιώτης

**Ἡ μνήμη αὐτοῦ τιμᾶται τῇ 2ᾳ Σεπτεμβρίου.**

**Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἡσυχίαν καὶ νῆψιν φιλῶν ἐνῴκησας
ἐν δυσπροσίτοις σπηλαίοις
καὶ κοινοβίοις σεπτοῖς,
Ἰωσὴφ συνασκητὰ

τοῦ οὐρανόφρονος,
μάκαρ Ἀρσένιε, ὀδμαῖς
ὁ εὐφράνας ἀγωγῆς
ἀμέμπτου σου πᾶσαν κτίσιν
ἄρτι τὴν σὲ ἀνυμνοῦσαν
καὶ σαῖς θερμαῖς λιταῖς προσφεύγουσαν.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Ἡσυχαστὴν ἀδιαλείπτως προσευχόμενον,
πραΰν, ἀόργητον, ὑπάκουον, φιλάρετον,
ἀκτησίαν τὸν φιλοῦντα καὶ σιωπῶντα,
Ἰωσὴφ τοῦ Σπηλαιώτου τὸν ὁμόζηλον
καὶ Ἀγγέλων ἰσοστάσιον τιμήσωμεν
πόθῳ κράζοντες· Χαίροις, μάκαρ Ἀρσένιε.

**Μεγαλυνάριον.**

Χαίροις, ἡσυχίας, ὑπακοῆς,
νήψεως, δακρύων,
σπηλαιῶτα, καὶ προσευχῆς
ἀενάου ῥόδον,
Ἀρσένιε, μυρίπνουν,
τὸ ἄρτι καθηδῦναν
ὄρος τοῦ Ἄθωνος.

**Καθηγητὴς Δρ Χαραλάμπης Μ. Μπούσιας,**
**Μέγας Ὑμνογράφος τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**